UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Hapanta Ta Hellēnisti Heuriskomena

**Origenes**

**Coloniæ, 1685**

E Commentariis In Osee. Eodem Interprete.

urn:nbn:de:hbz:466:1-79842

Visual Library

μηθῆναι, καὶ τὰ αὐτόθεν ὅσον ἐπὶ τῷ ῥητῷ ἀπεμφαίνοντα τῶν γραφῶν, καὶ διὰ τὴν ἀπέμφασιν τῆς λέξεως πατούμενα ὑπὸ τῶν μὴ δυναμένων μηδὲ θελόντων χρῆσθαι πάσῃ τῇ νομῇ· ἀλλὰ κἂν ᾖ τι ὕδωρ ὑπὸ τῶν ποδῶν ἐκείνων τεταραγμένον, ἀναμιξάντων τῷ καθαρῷ λόγῳ τῆς γραφῆς δυσφήμους ἐπαπορήσεις, μὴ ἀποτρεπώμεθα δι᾽ ἣν πεποιήκασι τῷ λόγῳ ταραχὴν πίνειν καὶ τὸ ὑπὸ τῶν ποδῶν αὐτῶν τεταραγμένον. καὶ τήρει γε ἐπιμελῶς ὅτι πρὸς τοὺς ταράξαντας τὸ ὕδωρ καὶ πατήσαντας τὴν νομὴν λέγεται ὡς περὶ κρειττόνων. καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο. καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον. ἀλλὰ καὶ μηδέποτε νομὴν προφητικὴν ἡμεῖς πατήσωμεν, μηδὲ ὕδωρ νομικὸν ταράξωμεν. ἁμαρτανόντων δέ τινων καὶ περὶ τὴν εὐαγγελικὴν νομὴν, καὶ τὸ ἀποστολικὸν ὕδωρ, ὥστε τῶν εὐαγγελικῶν τινα μὲν πατεῖν, τινὰ δὲ ὡς καλὴν νέμεσθαι νομὴν, καὶ τῶν ἀποστολικῶν ἢ πάντα ἀποκρίνειν, ἤ τινα μὲν ἐγκρίνειν, τινὰ δὲ ἀποκρίνειν. ἡμεῖς καὶ τὰ ὅλα εὐαγγέλια νεμηθῶμεν, καὶ μηδὲν αὐτῶν πατήσωμεν, καὶ πάντα τὰ ἀποστολικὰ πίνοντες, τὸ ὅσον ἐφ᾽ ἡμῖν καθεστηκὸς ὕδωρ, αὐτὰ τηρήσωμεν, καὶ μηδὲν τῶν ἐν αὐτοῖς ἀπιστίᾳ ταρασσούσῃ τοὺς οὐκ εἰδότας συνιέναι τῶν λεγομένων ταράξωμεν.

A nunquam non pasci velimus, iis etiam quæ verbo tenus in Scripturis dissonant, & propter locutionis discrepantiam proculcantur ab iis qui nec volunt nec possunt tota pastione uti. Sed etsi sit aliquid aquæ pedibus illorum conturbatum, qui horrendas dubitationes purissimo sermoni Scripturæ immiscuerunt, ne avertamur, propter eas quas divinis verbis invexere turbas, à bibendo id etiam quod eorum pedibus turbatum est. Et observa diligenter, ut ad eos qui aquam turbaverunt & pastionem conculcarunt, de melioribus dicitur: *Et* B *oves meæ proculcata pedibus vestris depascebantur, & aquam pedibus vestris turbatam bibebant.* Sed neque unquam pastionem propheticam conculcemus nos, neque aquam legitimam turbemus; cum verò peccent aliqui in Evangelicam pastionem, ut ex Evangelicis quædam proculcent, aliqua ut bonam herbam depascantur: & ex Apostolicis vel omnia ejiciant, vel quædam seligant, aliqua vero abjiciant: nos Evangelia omnia depascamur, & nihil ex ipsis conculcemus, & omnia Apostolica bibentes, quantum possumus, aquam nobis ap- C positam, hæc custodiamus, & nihil eorum, quæ in iis continentur, infidelitate perturbante eos qui dicta percipere nesciunt, conturbemus.

---

ΕΚ ΤΩΝ

## ΕΙΣ ΤΟΝ ΩΣΗΕ ΕΞΗΓΗΤΙΚΩΝ.

E COMMENTARIIS IN

## OSEE.

*Eodem Interprete.*

Ἐπειδὴ τὰ σολοικοειδῶς εἰρημένα κατὰ τὴν γραφὴν ὅσα κατὰ τὴν λέξιν συγχεῖ τὸν ἐντυγχάνοντα, ὡς ὑπονοεῖν οὐκ ὀρθῶς, οὐδὲ ἀκολούθως, οὐδὲ ὡς ἔχει γεγράφθαι τὰ ῥητά· ὡς καὶ τολμᾶν τινας προφάσει διορθώσεως ἀλλοιοῦν, μεταθέντας τὸν ἐγκείμενον περὶ τὰ δοκοῦντα ἀκολούθως γεγράφθαι ῥητὰ νοῦν, ἀναγκαίως καὶ ἐνθάδε τοῦ ὁμοίου ἐμπεσόντος, ὅσον κατὰ τὴν λέξιν περὶ τὰ προκείμενα ῥητὰ, εἰδῶμεν τὸ ἐν αὐτοῖς ἐγκείμενον νοῦν· πληθυντικῶς γὰρ εἰπών. ἔκλαυσαν καὶ ἐδεήθησάν μου. καὶ πάλιν πληθυντικῶς τὸ ἑξῆς δηλώσας. ἐν τῷ οἴκῳ ὢν εὗρόν με, τὸ ἑξῆς ἐπὶ ἑνικοῦ ἐπιφέρει λέγων. καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτόν. τῇ γὰρ λέξει ψιλῇ τις ἐνιδὼν κατὰ πλάνην δοκῶν γεγράφθαι, ἢ καὶ τὸ τελευταῖον πληθυντικῶς γράψει, ἢ τὰ προάγοντα εἰς ἑνικὸν μεταθείη. ἀναγνοὺς γάρ. ἔκλαυσαν καὶ ἐδεήθησάν μου. καὶ ἐν τῷ οἴκῳ ὢν εὗρόν με, εἴπει ἂν ὅτι καὶ τὸ ἑξῆς οὕτως ἐστίν. ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς,

Quoniam quæ in Scripturis Solœcismi formam habent, dictione ipsa legentem confundunt, ut suspicetur non rectè D neque ut se habent, ita scriptas esse divinas literas, ut & audeant aliqui eas, emendationis prætextu, immutare, & circumpositam iis quæ consecutionem habere videntur, verbis intelligentiam transponere. Unde cum hîc tale quidpiam necessario inciderit, quantum è locutione in propositis verbis conjicere licet, latentem in ipsis sententiã videamus. Cùm enim numero multitudinis dixerit: *Luxerunt & oraverunt me,* Osee. 12,4.
& rursum eodem numero quæ sequuntur, exposuerit: *Domi cùm essem, invenerunt me,* reliqua in numero unitatis effert, dicens: *Et* E *ibi locutus est ad ipsum.* Nudam dictionem si quis intuebitur, per errorem scriptum existimans, posterius etiam numero multitu-



dinis

dinis scribet, aut superiora ad singularem redigent. Qui enim legerit: *Fleverunt & oraverunt me.* Et: *Domi cùm essem invenerunt me:* affirmabit ita legenda quæ sequuntur: *Ibi locutus est ad ipsos:* hoc est, qui fleverunt, & oraverunt, & domi Deum invenerunt. Atque ex observatione similium verborum etiam illa cohærenter dicta ostendemus. In Genesi Deus Adamo præceptum dans ait: *De omni ligno quod in paradiso est, comede: de ligno autem cognitionis boni & mali, non comedetis ex ipso: quâ autem die comederitis ex ipso, morte moriemini.* Cùm enim ibi quoq; à singulari cœpisset, *de omni arbore, quæ in paradiso est, comedes,* subjungit numero plurativo, dicens: *De ligno autem cognoscendi bonum & malum, ne comedite ex ipso: quacunque autem die comederitis ex ipso, morte moriemini.* Cùm enim præceptum, quo vult illum vivere, quamdiu hoc observaverit, numero unitatis dat, & ait: *De omni ligno, quod in paradiso est, comedes.* Qui enim secundum Deum ambulant, & mandata ejus amplectuntur, etsi multi sint, quòd tamen concordes sunt, & unius sensus, multi unum sunt. Propterea cùm de bono præceptum datur, singulari numero, *comedes:* cùm verò de transgressione præceptum dividitur, non jam singulari, sed plurali numero: *Non comedetis ex ipso; quâ verò die comederitis ex ipso, morte moriemini.* Sic igitur illi cùm flent & orant apud Deum, numero plurali dicitur: *Fleverunt & precati sunt:* cùm verò Deum inveniunt, non jam plurativè dicitur: *Ibi locutus est ad ipsos*, sed, *ad ipsum.* Jam enim unum facti sunt multi, quòd invenerint Deum, & audiant sermonem ejus. Unus enim cùm peccat, multiplex est, à Deo abscissus, & in partes divisus, & ab unitate decidens. Multi autem, qui Dei mandata sequuntur, unus sunt, quemadmodum & Apostolus testatur, dicens: *Quia unus panis, & unum corpus multi sumus*, & deinde: *Vnus Deus, unus Christus, una fides, unum Baptisma,* & alibi: *Quia omnes unum sumus in Christo Iesu,* & denuo: *Despondi enim vos omnes uni viro, virginem castam exhibere Christo.* Et quidē eos qui placent Domino, unum esse ex precatione, quâ Servator ad Patrem pro Apostolis contendit, id manifestum est. *Pater sancte,* ait, *da, quemadmodum ego & tu unum sumus, sic & hi in nobis unum sint.* Cùm verò & membra inter se esse sancti dicantur, quid aliud nisi unum sunt corpus? Et in libro qui Pastor inscribitur, ædificationem turris ex multis factam lapidibus, ex uno verò lapide factum videri ædificium, quid aliud quàm è multis concentum & unitatem, scriptum id significat?

Gen. 2. 16, 17.
1. Cor. 10. 17.
Eph. 4. 5, 6
Rom. 12. 5.
2. Cor. 11, 2.
Joan. 17. 11, 12.

A τουτέστι τοὺς κλαύσαντας καὶ δεηθέντας, καὶ ἐν τῷ οἴκῳ ὢν, εὑρόντας τὸν θεόν. ἐκ παρατηρήσεως δὲ ὁμοίων ῥητῶν, καὶ τοῦτ' ἀκολούθως εἰρῆσθαι δείξομεν· ἐν τῇ Γενέσει ὁ θεὸς τῷ Ἀδὰμ ἐντολὴν διδοὺς οὕτω φησίν. ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· ἀρξάμενος γὰρ κἀκεῖ ἀπὸ ἑνικοῦ ἐν τῷ εἰρηκέναι. ἀπὸ παντὸς ξύλου τοῦ ἐν B τῷ παραδείσῳ βρώσει φαγῇ, ἐπιφέρει πληθυντικῶς εἰπών. ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. ὅτε γὰρ περὶ τῆς ἐντολῆς δι' ἧς αὐτὸν ἐν ζωῇ ταύτην τηροῦντα ἠθέλησεν εἶναι, ἑνικῶς ἐντέλλεται, καί φησιν· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. οἱ γὰρ κατὰ θεὸν περιπατοῦντες, καὶ τῶν ἐντολῶν αὐτοῦ ἀντεχόμενοι, κἂν πολλοὶ ὦσι, τῷ ὁμόφρονες εἶναι οἱ πολλοὶ C ἕν εἰσι. διὰ τοῦτο ὅτε περὶ ἀγαθοῦ ἐντολὴ δίδοται ἑνικῶς αὐτὸ λέγεται τό. βρώσει φαγῇ· ὅτε δὲ ἤδη περὶ παραβάσεως διαστέλλεται, οὐχ ἑνικῶς ἀλλ' ἤδη πληθυντικῶς φησιν· οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε· οὕτως οὖν καὶ ἐνθάδε, ὅτε μὲν κλαίουσι καὶ δέονται πρὸς θεόν, πληθυντικῶς λέγεται τό. ἔκλαυσαν καὶ ἐδεήθησαν. ὅτε δὲ εὑρίσκουσι τὸν θεόν, οὐκέτι πληθυντικῶς φησι τό. ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς, ἀλλὰ πρὸς αὐτόν. ἤδη γὰρ ἓν D γεγόνασιν οἱ πολλοὶ ἐν τῷ εὑρηκέναι τὸν θεόν, καὶ ἐν τῷ ἀκούειν λόγον αὐτοῦ. ὁ γὰρ εἷς ὅτε ἁμαρτάνει, πολλοστός ἐστιν ἀποσχιζόμενος ἀπὸ θεοῦ, καὶ μεριζόμενος, καὶ τῆς ἑνότητος ἐκπίπτων. οἱ δὲ πολλοὶ ταῖς ἐντολαῖς ἑπόμενοι ταῖς τοῦ θεοῦ, εἷς εἰσι. καθὼς καὶ ὁ ἀπόστολος μαρτυρεῖ εἰπών. ὅτι εἷς ἄρτος καὶ ἓν σῶμα οἱ πολλοί ἐσμεν. καὶ πάλιν. εἷς θεός, καὶ εἷς χριστὸς καὶ μία πίστις, καὶ ἓν βάπτισμα. καὶ ἀλλαχοῦ. ὅτι πάντες ἕν ἐσμεν ἐν χριστῷ Ἰησοῦ. καὶ αὖθις. ἡρμοσάμην γὰρ ὑμᾶς τοὺς πάντας ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παρα- E στῆσαι τῷ κυρίῳ. καὶ ὅτι οἱ εὐαρεστοῦντες τῷ κυρίῳ ἕν εἰσιν, ἀπὸ τῆς προσευχῆς ἧς ὁ σωτὴρ εὔχεται πρὸς τὸν πατέρα περὶ τῶν μαθητῶν αὐτοῦ ἐστιν ἰδεῖν. πάτερ γάρ, φησιν, ἅγιε, δὸς ἵνα καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν. ὅταν δὲ καὶ ἀλλήλων μέλη λέγωνται εἶναι οἱ ἅγιοι, τί ἄλλο εἰ μὴ ἓν σῶμά εἰσι; καὶ ἐν τῷ ποιμένι δὲ τὴν οἰκοδομὴν τοῦ πύργου διὰ πολλῶν μὲν λίθων οἰκοδομουμένην, ἐξ ἑνὸς δὲ λίθου φαινομένην εἶναι τὴν οἰκοδομήν, τί ἄλλο ἢ τὴν ἐκ πολλῶν συμφωνίαν καὶ ἑνότητα σημαίνει ἡ γραφή.